τὰ ὑμέτερα αὑτῶν ὑμῖν ἀποδώσει, καὶ πολλῷ πλείω αὐτῷ
9 τούτων περιέσται. καὶ γὰρ ἂν καὶ δεινὸν εἴη, ὦ ἄνδρες
δικασταί, εἰ τοῖς μὲν μὴ δυναμένοις τὰ σφέτερ' αὐτῶν
εἰσφέρειν ὀργίζοισθε καὶ τὰς οὐσίας αὐτῶν ὡς ἀδικούν-
των δημεύοιτε, τοὺς δὲ τὰ ὑμέτερα αὑτῶν ἔχοντας μὴ
τιμωροῖσθε, ἀλλὰ τῶν τε χρημάτων ἀποστεροῖσθε καὶ
10 τούτους χαλεπωτέρους ἐχθροὺς ἔχοιτε. ἕως γὰρ ἂν τὰ
ὑμέτερα ἔχοντες σφίσιν αὐτοῖς συνειδῶσιν, οὐδέποτε
ὑμῖν παύσονται κακονοοῦντες, νομίζοντες τὰς τῆς πό-
λεως δυστυχίας μόνας ἀπαλλαγὴν εἶναι τῶν πρὸς αὐτοὺς
πραγμάτων.
11 Ἡγοῦμαι δ', ὦ ἄνδρες δικασταί, οὐ μόνον περὶ χρη-
μάτων αὐτῷ προσήκειν ἀγωνίζεσθαι, ἀλλὰ καὶ περὶ τοῦ
σώματος κινδυνεύειν. καὶ γὰρ ἂν καὶ δεινὸν εἴη, εἰ οἱ
μὲν τὰ τῶν ἰδιωτῶν ἀπολλύμενα τοῖς κλέπταις συνει-
δότες τοῖς αὐτοῖς ἐνέχοιντο, οὗτος δὲ τὰ τῆς πόλεως
Ἐργοκλεῖ συνειδὼς κλέπτοντι καὶ ἐπὶ τοῖς ὑμετέροις
δωροδοκοῦντι μὴ τῆς αὐτῆς τιμωρίας τυγχάνοι, ἀλλὰ
ἆθλα λάβοι τὴν ὑπ' ἐκείνου καταλειφθεῖσαν οὐσίαν ἀντὶ
τῆς αὑτοῦ πονηρίας. ἄξιοι δ' ὑμῖν εἰσιν ὀργῆς, ὦ ἄν-
12 δρες δικασταί. οὗτοι γάρ, ὅτε Ἐργοκλῆς ἐκρίνετο, ἐν τῷ
δήμῳ περιιόντες ἔλεγον ὡς πεντακόσιοι μὲν αὐτοῖς εἴη-
σαν ἐκ τοῦ Πειραιῶς δεδεκασμένοι, ἑξακόσιοι δὲ καὶ
χίλιοι ἐκ τοῦ ἄστεως· μᾶλλον δὲ προσεποιοῦντο πιστεύ-
ειν τοῖς χρήμασιν ἢ δεδιέναι τὰ αὑτῶν ἁμαρτήματα.
13 ἐκεῖ μὲν οὖν ἐπεδείξατε αὐτοῖς, ἐὰν δὲ εὖ φρονῆτε, καὶ
νυνὶ τοῦτο φανερὸν πᾶσιν ἀνθρώποις ποιήσετε, ὅτι οὐκ
ἔστι τοσαῦτα χρήματα ἃ ὑμᾶς, οὓς ἂν λαμβάνητε ἀδι-
κοῦντας, ἀποτρέψει τιμωρεῖσθαι, καὶ μηδεμίαν αὐτοῖς
ἄδειαν δώσετε τὰ ὑμέτερα αὐτῶν διαρπάζουσι καὶ κλέ-
14 πτουσιν. ἐγὼ μὲν οὖν ταῦτα ὑμῖν παραινῶ. πάντες γὰρ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481120/232 UNIVERSITÄT LEIPZIG